UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Eidem. 151.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

αὐτοκράτορα. τὸν θυμὸν δὲ αὐτῷ δορυφόρον παραδώσας, καὶ νομοθετήσας αὐτῷ μηδὲν πράττειν, ὧν ὁ βασιλεὺς οὐ βούλεται, καὶ πᾶν ὅσον ἡδοναῖς τε καὶ λύπαις εἰς κακίαν ἔκδοτον ἐξορίσας τῆς σαυτοῦ γνώμης, τιμήσας τὴν ἄνωθεν ψῆφον.

præbueris, edicáſque ei, ne quid eorum, quæ regi minimè grata ſunt, efficiat, atque id omne quod per voluptates & mœrores vitio addictum eſt, ex animo tuo eieceris, hac demum ratione diuino calculo honor abs te habitus fuerit.

Τῷ αὐτῷ. ρνα.

Ἐλευθερίου ψυχῆς χαρακτῆρες τὸ ἄδολον, τὸ ἥμερον, τὸ φιλάνθρωπον, τὸ ἀνδρεῖον, τὸ δίκαιον, τὸ σῶφρον, τὸ συγκαταβατικὸν, τὸ ἤπιον, τὸ μεταδοτικὸν, τὸ μὴ χάριτι, ἀλλὰ κρίσει κρατεῖν καὶ ψηφίζεσθαι, καὶ τὰ ἄλλα τὰ τούτων ἀδελφά. ἀνελευθέρου δὲ τὸ τοῖς ἐναντίοις πάθεσι κεχειρῶσθαι, καὶ πᾶσαν ἀγαθὴν ἔννοιαν ἐξ ἑαυτῆς ἐξωστρακίσαι.

*Eidem.* 151.

Ingenuæ animæ notæ ſunt, à dolo abhorrere, ſuauem, humanum, fortem, iuſtum, pudicum ac temperantem eſſe, indulgenter ſe ad inferiores demittere, lenitati & beneficentiæ ſtudere, iudicio non gratia & fauore ſuperare ac decernere, aliáque his affinia. Seruilis contrà, contrariis affectibus ſubiectum eſſe, probámque omnem cogitationem ex ſeipſo propellere atque ablegare.

Ἰσιδώρῳ διακόνῳ. ρνβ.

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν Ἀαρὼν καὶ Μαριὰμ κατηγορησάντων Μωσέα, ἡ Μαρία μόνη ἐπετιμήθη, λέπρας αὐτῆς τῷ προσώπῳ ἔνθα ἡ γλῶσσα λοχᾷ ἐπανθησάσης, γράφω μὲν καὶ ὃ ἤκουσα παρά τινος σοφοῦ, ὑποτάξω δὲ καὶ τὸ ἐμαυτῷ νενοημένον, ἵν' αὐτὸς δοκιμάσας τὸ ἀληθέστερον. ἔφη μὲν οὖν ἐκεῖνος, ὅτι ἐπειδὴ ἀρχὴ ἱερωσύνης ἦν, οὐκ ἠθέλησεν ὁ θεὸς ὑβρίσαι τὸ προοίμιον, ἵνα μὴ καὶ τὸ τέλος γένηται ἐπονείδιστον. ἐγὼ δὲ οὔτ' ἀνατρέπειν τοῦτο, οὔτ' ἐγκρίνειν ἔχω, οὐκ ἀνατρέπω μὲν ἐπειδὴ οὐδὲν οὔτε τὴν ἀρετὴν, οὔτε τὴν εὐσέβειαν παραβλάπτει. οὐκ ἐγκρίνω δὲ, ἐπειδὴ πρὸς τοῦ Ἀαρὼν ἱερωσύνην ἦν θειοτέρα καὶ ἀναίμακτος ἡ τοῦ Μελχισεδέκ. καὶ ὅτι οὐ κατ' ἀδέκαστον κρίτην διὰ τὸ ἀξίωμα τοῦ πταίσαντος, τὸ δίκαιον παριδεῖν. ἀλλ' ἐκεῖνο μᾶλλον φημὶ, ὅτι ἐπειδὴ ἡ γραφὴ ἐν τῇ κατηγορίᾳ τὴν Μαριὰμ προέταξε, τἀνδρὸς καὶ ἀρχιερέως, οἶμαι, τὸ σπέρμα αὐτὴν δεδωκέναι.

*Iſidoro Diacono.* 152.

Quandoquidē per litteras quæris, quidnam cauſæ ſit, quamobrem cùm Aaron & Maria Moſen maledictis inceſſerint, ſola tamen Maria obiurgata fuerit, lepra nimirum ipſius faciei, in qua lingua deliteſcit, offuſa, priùs quidem id quod ab erudito quodam viro accepi, ſcribam, pòſt autem id quoque, quid mihi in mentem venit, ſubnectam: quò ipſe vtrum ad veritatem propenſius ſit, expendas. Aiebat igitur ille, quia ſacerdotij principium erat, idcirco Deum ſacerdotij præludio ignominiæ notam inurere minimè voluiſſe: ne finis quoque probroſus exiſteret. Ego verò hāc rationem nec cur euertam, nec cur probē habeo. Cur, inquam, euertam nō habeo, quoniam nec virtutem nec pietatem lędit. Cur item probem non habeo, quia ante Aaronem diuinius & incruentum ſacerdotium erat, nimirum Melchiſedechi. Atque item quia integri iudicis non eſt, ob eius, qui deliquit amplitudinem & dignitatem iuris religionem contemptui habere. At verò illud potiùs dixerim, quia Scriptura Mariā viro ſuo ac Pōtifici præpoſuit,